www.e-rara.ch

# Diodori Siculi bibliothecae historicae quae supersunt

## Diodorus

## Lipsiae, [17--]

**ETH-Bibliothek Zürich**

Shelf Mark: Rar 8145

Persistent Link: https://doi.org/10.3931/e-rara-33647

Inhaltsverzeichnis

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΤΑΔΕ ΕΝΕΣΤΙΝ
## ΕΝ ΤΗι ΤΡΙΣΚΑΙΔΕΚΑΤΗι
## ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

α΄. Στρατεία Ἀθηναίων ἐπὶ Συρακουσίους μεγάλαις δυνάμεσι πεζικαῖς τε καὶ ναυτικαῖς.

β΄. Κατάπλους Ἀθηναίων εἰς Σικελίαν.

γ΄. Μετάκλησις Ἀλκιβιάδου τοῦ στρατηγοῦ, καὶ φυγὴ εἰς Λακεδαίμονα.

δ΄. Ὡς Ἀθηναῖοι διαπλεύσαντες εἰς τὸν μέγαν λιμένα τῶν Συρακουσίων, κατελάβοντο τοὺς περὶ τὸ Ὀλύμπιον τόπους.

έ. Ὡς Ἀθηναῖοι τὰς Ἐπιπολὰς καταλαβόμενοι, καὶ μάχῃ νικήσαντες, ἐξ ἀμφοτέρων τῶν μερῶν ἐπολιόρκησαν τὰς Συρακούσας.

ς΄. Ὡς Λακεδαιμονίων καὶ Κορινθίων πεμψάντων βοήθειαν, ἐθάῤῥησαν οἱ Συρακούσιοι.

ζ΄. Μάχη Συρακουσίων καὶ Ἀθηναίων, καὶ νίκη Ἀθηναίων μεγάλη.

η΄. Μάχη τοῖς αὐτοῖς, καὶ νίκη Συρακουσίων.

θ΄. Ὡς Συρακούσιοι τῶν Ἐπιπολῶν κρατήσαν-

τες, ἠνάγκασαν τοὺς Ἀθηναίους εἰς μίαν ἐλθεῖν παρεμβολὴν τὴν πρὸς τῷ Ὀλυμπίῳ.

ί. Ὡς ναυτικὴν δύναμιν οἱ Συρακούσιοι κατασκευάσαντες, ναυμαχεῖν διέγνωσαν.

ιά. Ὡς Ἀθηναῖοι Λαμάχου τοῦ στρατηγοῦ τελευτήσαντος, καὶ Ἀλκιβιάδου μετακληθέντος, ἀντὶ τούτων στρατηγοὺς ἔπεμψαν Εὐρυμέδοντα καὶ Δημοσθένην, ἔχοντας δύναμιν καὶ χρήματα.

ιβ΄. Διάλυσις σπονδῶν ὑπὸ Λακεδαιμονίων, καὶ πόλεμος πρὸς Ἀθηναίους ὁ Πελοποννησιακὸς λεγόμενος.

ιγ΄. Ναυμαχία Συρακουσίων καὶ Ἀθηναίων, καὶ νίκη Ἀθηναίων, καὶ ἅλωσις φρουρίων ὑπὸ Συρακουσίων, καὶ κατὰ γῆν νίκη.

ιδ΄. Ναυμαχία πάσαις ταῖς ναυσὶν ἐν τῷ μεγάλῳ λιμένι, καὶ νίκη Συρακουσίων.

ιέ. Κατάπλους ἐξ Ἀθηνῶν Δημοσθένους καὶ Εὐρυμέδοντος μετὰ δυνάμεως ἀξιολόγου.

ις΄. Μάχη μεγάλη περὶ τὰς Ἐπιπολάς, καὶ νίκη Συρακουσίων.

ιζ΄. Δρασμὸς τῶν Ἀθηναίων, καὶ ἅλωσις τῆς πάσης δυνάμεως.

ιή. Ὡς Συρακούσιοι συνελθόντες εἰς ἐκκλησίαν, προέθηκαν βουλήν, πῶς χρηστέον τοῖς αἰχμαλώτοις.

ιθ΄. Οἱ ῥηθέντες λόγοι πρὸς ἑκάτερον μέρος τῆς ὑποθέσεως.

κ΄. Τὰ ψηφισθέντα τοῖς Συρακουσίοις περὶ τῶν αἰχμαλώτων.

κα'. Ὡς Ἀθηναίων πταισάντων περὶ Σικελίαν, πολλοὶ τῶν συμμάχων ἀπέστησαν.

κβ'. Ὡς ὁ δῆμος τῶν Ἀθηναίων ἀθυμήσας παρεχώρησε τῆς δημοκρατίας, καὶ τετρακοσίοις ἀνδράσι τὴν πολιτείαν ἐπέτρεψαν.

κγ'. Ὡς Λακεδαιμόνιοι ταῖς ναυμαχίαις τοὺς Ἀθηναίους ἐνίκησαν.

κδ'. Ὡς Συρακούσιοι τοὺς ἀνδραγαθήσαντας κατὰ τὸν πόλεμον ἀξιολόγοις δωρεαῖς ἐτίμησαν.

κέ. Ὡς Διοκλῆς, νομοθέτης αἱρεθείς, ἔγραψε τοὺς νόμους Συρακουσίοις.

κϛ'. Ὡς Συρακούσιοι τοῖς Λακεδαιμονίοις δύναμιν ἀξιόλογον ἔπεμψαν.

κζ'. Ὡς Ἀθηναῖοι τὸν τῶν Λακεδαιμονίων ναύαρχον καταναυμαχήσαντες, Κύζικον ἐξεπολιόρκησαν.

κή. Ὡς Λακεδαιμονίων ἐξ Εὐβοίας πεντήκοντα ναῦς ἀποστειλάντων ἐπὶ βοήθειαν τοῖς ἡττημένοις, ἅπασαι περὶ τὸν Ἄθω μετὰ τῶν ἀνδρῶν διεφθάρησαν ὑπὸ τοῦ χειμῶνος.

κθ'. Ἀλκιβιάδου κάθοδος καὶ στρατηγία.

λ'. Πόλεμος Ἐγεσταίοις καὶ Σελινουντίοις περὶ τῆς ἀμφισβητουμένης χώρας.

λά. Ναυμαχία Ἀθηναίων καὶ Λακεδαιμονίων περὶ τὸ Σίγειον, καὶ νίκη Ἀθηναίων.

λβ'. Ὡς Λακεδαιμόνιοι τὸν Εὔριπον χώσαντες, τὴν Εὔβοιαν ἤπειρον ἐποίησαν.

λγ'. Περὶ τῆς ἐν Κερκύρᾳ γενομένης στάσεως καὶ σφαγῆς.

λδ΄. Ὡς Ἀλκιβιάδης καὶ Θηραμένης ἐνίκησαν Λακεδαιμονίους ἅμα πεζῇ καὶ κατὰ θάλατταν ἐπιφανέστατα.

λέ. Ὡς Καρχηδόνιοι μεγάλας δυνάμεις διαβιβάσαντες ἐν Σικελίᾳ, Σελινοῦντα καὶ Ἱμέραν κατὰ κράτος εἷλον.

λϛ΄. Ὡς εἰς τὸν Πειραιᾶ καταπλεύσας μετὰ πολλῶν λαφύρων μεγάλης ἔτυχεν ἀποδοχῆς Ἀλκιβιάδης.

λζ΄. Ὡς Ἄγις ὁ βασιλεύς, μεγάλῃ δυνάμει τὰς Ἀθήνας πολιορκεῖν ἐπιβαλόμενος, ἐξέπεσεν.

λή. Ἀλκιβιάδου φυγή, καὶ κτίσις Θέρμων ἐν Σικελίᾳ.

λθ΄. Ναυμαχία Συρακουσίων πρὸς Καρχηδονίους, καὶ νίκη Συρακουσίων.

μ΄. Περὶ τῆς ἐν Ἀκράγαντι εὐδαιμονίας, καὶ τῶν ἐν αὐτῇ κατασκευασμάτων.

μά. Ὡς Καρχηδόνιοι τριάκοντα μυριάσι στρατεύσαντες εἰς Σικελίαν, ἐπολιόρκησαν Ἀκράγαντα.

μβ΄. Ὡς Συρακούσιοι παραλαβόντες τοὺς συμμάχους, μυρίοις στρατιώταις ἐβοήθουν τοῖς Ἀκραγαντίνοις.

μγ΄. Ὡς τετρακιςμυρίων Καρχηδονίων ἀπαντησάντων ἐνίκησαν οἱ Συρακούσιοι, καὶ πλείους τῶν ἑξακιςχιλίων κατέκοψαν.

μδ΄. Ὡς Καρχηδονίων τὰς ἀγορὰς παραιρουμένων, οἱ Ἀκραγαντῖνοι διὰ τὴν σπάνιν τῆς τροφῆς ἠναγκάσθησαν ἐκλιπεῖν τὴν πατρίδα.

μέ. Ὡς Διονύσιος, στρατηγὸς αἱρεθείς, ἐτυράννησε τῶν Συρακουσίων.

μϛʹ. Ὡς Ἀθηναῖοι ἐν Ἀργινούσαις ἐπιφανεστάτῃ ναυμαχίᾳ νικήσαντες, τοὺς στρατηγοὺς ἀδίκως ἐθανάτωσαν.

μζʹ. Ὡς Ἀθηναῖοι μεγάλῃ ναυμαχίᾳ λειφθέντες, ἠναγκάσθησαν, ἐφʼ οἷς δυνατὸν ἦν, συνθέσθαι τὴν εἰρήνην, καὶ οὕτως ὁ Πελοποννησιακὸς πόλεμος κατελύθη.

μηʹ. Ὡς Καρχηδόνιοι λοιμικῇ νόσῳ περιπεσόντες, ἠναγκάσθησαν συνθέσθαι τὴν εἰρήνην πρὸς Διονύσιον τὸν τύραννον.